ἀναπαιστικῶν καὶ ἰαμβικῶν ιζ. ὧν τὸ πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β ἰαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερὲς ὃ καλεῖται ἀνακρεόντειον. τὸ γ ὅμοιον. τὸ δ ὅμοιον τῷ α. τὸ ε ὅμοιον τῷ β. τὸ ς καὶ τὸ

A ζ ἀναπαιστικὰ πενθημιμερῆ. τὰ η θ ι γ ὅμοια τῷ α. τὰ δ' ἄλλα τῷ β. ἐπὶ τῷ τέλει αἱ συνήθεις διπλαῖ.

BISETVS. Ταχὺ δέ, ἀντὶ τοῦ ταχέως, ἐν τάχει, καὶ τάχος.

Χο. Κατέχουσι δ' ἔρωτες ἐμᾶς πόλεως.
Πι. Θᾶττον φέρειν κελεύω.
Χο. Τί γὰρ οὐκ ἔνι ταύτῃ
Καλὸν ἀνδρὶ μετοικεῖν.
Σοφία. πόθος. ἀμβροσία. χάριτες.
Τό, τε τῆς ἀγανόφρονος ἡσυχίας
Εὐήμερον πρόσωπον.
Πι. Ως βλακικῶς διακονεῖς.
Οὐ θᾶττον ἐγκονήσεις;
Χο. Φερέτω κάλαθόν ταχύ τις πτερῶν.
Σὺ δ' αὖθις αὖ γ' ἐξόρμα,
Τύπτων γε τουτονὶ ὡδί.
Πάνυ γὰρ βραδύς τις ἐστὶν ὥσπερ ὄνος.
Πι. Μανῆς γάρ ἐστι δειλός.

CH. Detinent autem amores meæ ciuitatis.
PI. Citò ferre iubeo.
B CH. Quid enim non inest huic,
(Bonum viro transmigrare)
sapientia, desiderium, immortalitas, gratiæ.
Hæcque valde prudentis quietis
Mansueta persona.
PI. Valde ignauè ministras,
Non citò festinabis?
CH. Ferat calathum citò aliquis alarum.
Tu autem rursus iterum irrue
Verberans hunc sic:
C Valde enim tardus quidem est tanquam asinus.
PI. Manes enim est timidus.

Σχόλια. Ἐμᾶς πόλεως.] λείπει ἀνθρώπους. ἕνεκα τῆς πόλεως τῆς ἐμῆς φησὶ κατέχουσιν οἱ ἔρωτες τοὺς ἀνθρώπους ἀντὶ τοῦ ἐρῶσιν ἄνθρωποι τῆς ἐμῆς πόλεως. Θᾶττον φέρειν.] τοὺς κοφίνους τῶν πτερῶν. δῆλον δὲ ὅτι ταῦτα πρὸς τὸν Μανῆν. Ως βλακικῶς.] ἀντὶ τοῦ βραδέως. Πεισθέταιρος πρὸς τὸν Μανῆν. Σὺ δ' αὖθις ἐξόρμα.] ἀποστρέφει τὸν λόγον ὁ χορὸς πρὸς τὸν Πεισθέταιρον εἰσιόντα

ἐπεῖξαι τὸν οἰκέτην ὡδί. Μανῆς γάρ ἐστι δειλός.] ἀποφαντικῶς ἀντὶ τοῦ δείλαιος. πρὸς ἄλλον δὲ λέγει τύπτων τὸν Μανῆν. εἴσθεσις δὲ χοροῦ ἐπῳδικὴ μεθ' ἣν ἐπὶ τὸ μὲν τὴν διπλῆν τίθεσθαι, προσῳδικὴ δὲ ἐστὶ τὸ προτιθέσθαι ἑτέρας περιόδου. κώλων ἀναπαιστικῶν ε. ὧν τὰ α' β πενθημιμερῆ. τὰ δὲ δίμετρα ἀκατάληκτα. τὸ ε ἰαμβικὸν ἐφθημιμερές. D ἐν ἐκθέσει δὲ τρίμετρα δύο. ἐπὶ τῷ τέλει κορωνίς.

ΣΤΡΟΦΗ
κώλων ε.

Χο. Σὺ δὲ τὰ πτερὰ πρῶτον
Διάθες τάδε κόσμῳ.
Τά τε μουσιχ' ὁμοῦ τά, τε μαντικὰ καὶ
Τὰ θαλάσσι' ἔπειτα δ' ὅπως φρονίμως
Πρὸς ἄνδρ' ὁρῶν πτερώσεις.
Πι. Οὔτι μὰ τὰς κερχνῇδας ἔτι σοῦ σχήσομαι,
Οὕτως ὁρῶν σε δειλὸν ὄντα καὶ βραδύν.

VERSIO membrorum quinque.

CH. Tu autem alas primum
Dispone has ornatu,
E Hasque musicas simul, hasque vaticinatorias, &
Marinas. postea autem quomodo sapienter
Ad virum aspiciens alabis?
PI. Non aliquid per cercheidas amplius tolerabo,
sic videns te timidum existentem & tardum.

Σχόλια. Διάθες τάδε κόσμῳ.] ἀντὶ τοῦ διάκρινον τὰ πτερὰ κατὰ τάξιν ἑκάστῳ ἀνδρὶ προσήκοντα. μουσικὰ δὲ λέγει, κύκνων καὶ ἀηδόνων, ὅτι μάλιστα εὔφωνά ἐστι. μαντικὰ δὲ κοράκων καὶ ἀετῶν καὶ τῶν λοι-

F πῶν, οἷς οἰωνίζεται. θαλάττια δὲ, λάρων καὶ αἰθυιῶν καὶ τῶν ὁμοίων. Οὔτοι μὰ τὰς κερχνῇδας.] τύπτων τὸν δοῦλον τὸν Μανῆν ταῦτα λέγει ὁ Πεισθέταιρος.

ΠΑΤΡΑΛΟΙΑΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
Εἴσθεσις περιόδου κώλων καὶ στίχων λς.

PARRICIDA, PISTHETERVS.

BISETVS. Πατραλοίας πρὸς τὴν ὀρνίθων πόλιν G ἥκει, ἐπὶ τὸ τῶν τὸν βίον, καὶ τοὺς νόμους ἐπαινεῖ.

Πα. Γενοίμαν αἰετὸς ὑψιπέτας,
Ως ἂν ποταθείην ἀτρυγέτου

PA. Fiam aquila altiuolans,
Vt volarem indomitæ

Σχόλια. Γενοίμαν αἰετός.] εἴσθεσις ἑτέρας περιόδου κώλων καὶ στίχων λς. ὧν τὰ α' δύο ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα. τὸ τρίτον ἰαμβικὸν ἐφθημιμερές. τὸ ς κῶλον μονόμετρον βραχυκατάληκτον. οἱ δ' ἄλλοι